καὶ ἑτέρων τινῶν ἀπό τε Μαιώτιδος λίμνης πρὸς βορρᾶν, καὶ ᾤκησαν ἐκεῖσε· ἐξ ὧν οἱ Σαυρομάται Σκύθαι γεγόνασι. καὶ τοῦτο μὲν ἱστορεῖ ὁ Ἡρόδοτος. μέμνηται δὲ τῆς ἱστορίας καὶ Διονύσιος ὁ περιηγητὴς, λέγων,

[13] τῆς γάρ τοι φιλότητος Ἀμαζονίδων ἐγένοντο
ἥν ποτε μετ᾽ ἀν μήσοσοϊν ἐπ᾽ ἀνδράσι Σαυρομάτῃσιν. — Dionys. u. 655. perieg.

ΕΠΕΔΡΑΜΟΝ. οἱ μὴ τὰς ἱστορίας ἀκριβῶς ἐπιστάμενοι, ἀλλ᾽ [14] ἐγγαστριμύθοις λαλοῦντες, πορθηθῆναι τὴν Τροίαν ὑπ᾽ Ἀμαζόνων φασὶν, οὔτε αἰτίαν εἰπεῖν τῆς πορθήσεως ἐπιστάμενοι, οὔτ᾽ εἰδότες, [15] εἰ μὴ πόρθησις, ἀλλὰ μόνον ἐπιδρομὴ ἦν. ἐγὼ δὲ περὶ τούτου [16] φάμην, ὅπως ἕκαστος τῶν ἱστορικῶν λέγει·

τῶν ἱστορικῶν Ἑλλάνικος μὲν λέγει, — Refert ex eodem Tzetza ad Lycophr. u. 1332.
τοῦ Κιμμερικοῦ συμπαγέντος Βοσπόρου
πάλαι περάσας ἦλθε τῶν Ἀμαζόνων
πλεῖστος στρατὸς, Χρυσασπὶς, [17] ἀργυροξίφης,
θῆλυς, φίλανδρος, ἀρρενοβρεφοκτόνος,
μερίζει δὲ πρὸς πολλὰ τῆς γῆς τὰ πλάτη,
καὶ τοὺς ἀραγμοὺς τῶν μαχῶν συνεκρότει.
ταῦτα μὲν Ἑλλάνικος, οὗ Λέσβος πάτρα.
ὁ δ᾽ Ἡρόδοτος, Ποντόθεν κεκινημένος, — Habet Tzetza ibidem.
καὶ τῆς μάχης δὲ συγγράφει τὰς αἰτίας,
τῆς Ἱππολύτης ἁρπαγὴν εἶναι γράφων,
ἣν Ἡρακλῆς ἥρπασεν ἐκ Θεμισκύρας,
πόθον θυγατρὸς ἐκτελῶν Εὐρυσθέως.
τῷ Ποντικῷ δὲ συγγραφεῖ πεπεισμένος
Ἀπολλόδωρος, συντρέχει καὶ Λυκόφρων, — Apollod. lib. II p. 98. Lycophron u. 1332.
σὺν οἷς Ἀπολλώνιος ἡρῷα [18] γράφων, — Apollon. lib. II. ~~schol.~~ 968. sqq.
ἄλλοι δὲ πολλοὶ, σύντροφον τούτοις γένος.
ὁ δ᾽ αὖ Μέλεχρος [19] Ἡρόδοτος ὀξύλου,
τὸ Λυσίου δὲ πύρπνοον ῥήτορος στόμα, — ~~ora~~ Lysias or. XXXI. n°. 2. unde citat Tzetza ad Lycophr. u. 1332.
αἴτια φασὶ τῆς μάχης καθεστάναι,
ὁ μὲν γυναικὸς τὸν πόθον τὸν [20] πρόγαμ
ὅτ᾽ [21] ἂρ ἀριστεύσειαν, οὐ τοῦτο τυχεῖν.
οὗτος γὰρ ἐστὶ ταῖς Ἀμαζόσι νόμος·
ὁ Λυσίας δὲ, τῷ σθένει πεπεισμένος,
φησὶν ἐκείνας συναρρέξαι [22] τὰς μάχας,
πάντῃ τρεχούσας, καυστικοῦ πυρὸς δίκην,
ἕως συνετρίβησαν Ἀττικῷ σθένει [23]

10 malim διηγήσεως. 11 συνδρομία forte legenda. dixi in notis.
12. 13. v. prolegomena. 14. melius ἐγγαστριμύθως.
15. ἴσ. ὅτι μὴ πόρθησις, ἀλλὰ μόνον ἐπιδρομὴ ἦν. ^ 16. ἴσ. φαίην, vel ἔφαμεν certe.
^ u. i. scholia ...

http://digital.slub-dresden.de/ppn346492408/9